**Drammaturgia greca 2019/20**

**Parte seconda: *Il miles amatorius in Menandro*.**

**1) *Misoumenos* 1- 56** (ed. W.G. Arnott, *Menander* vol. II, Cambridge [Mass.]-London 1996)

ΘΡΑΣΩΝΙΔΗΣ

ὦ Νύξ, σὺ γὰρ δὴ πλεῖστον Ἀφροδίτης μέρος
μετέχεις θεῶν, ἐν σοί τε περὶ τούτων λόγοι
πλεῖστοι λέγονται φροντίδες τ' ἐρωτικαί,
ἆρ' ἄλλον ἄνθρωπόν τιν' ἀθλιώτερον
ἑόρακας; ἆρ' ἐρῶντα δυσποτμώτερον;
πρὸς ταῖς ἐμαυτοῦ νῦν θύραις ἕστηκ' ἐγὼ
ἐν τῷ στενωπῷ, περιπατῶ τ' ἄνω κάτω-
ἀμφοτερά<κι>ς μεχρὶ νῦν, μεσούσης σοῦ σχεδόν,
ἐξὸν καθεύδειν τήν τ' ἐρωμένην ἔχειν.
παρ' ἐμοὶ γάρ ἐστιν ἔνδον, ἔξεστίν τε μοι
καὶ βούλομαι τοῦθ' ὡς ἂν ἐμμανέστατα
ἐρῶν τις, οὐ ποιῶ δ'· ὑπαιθρίῳ ̣δέ μοι
χειμ[ῶνος ὄ]ντος ἐστὶν αἱρετώτερον
ἑστη[κέναι] τρέμοντι καὶ λαλοῦντί σοι.

ΓΕΤΑΣ

τὸ δ[ὴ λεγόμ]ενον, οὐδὲ κυνί, μὰ τοὺς θε[ούς,
νῦν [ἐξι]τητόν ἐστιν, ὁ δ'ἐμὸς δεσπότης
ὥσπερ θέρους μέσου περιπατεῖ φιλοσο[φῶν
τοσαῦτ'. [ἀ]πολεῖ μ'. οὐ δρυινός; [.]..εα..π
δ]ιατριβων γ' εγκα... πεσ[
]..ει τὴν θύραν. ὦ δυστυχής,
τί οὐ καθεύδεις; σύ μ' ἀποκναίεις περιπατῶν.
ἢ καὶ καθε]ύδεις; περίμεν' εἰ μ' ἐγρη[γ]ορὼς
ὁρᾷς.]

ΘΡΑΣΩΝΙΔΗΣ

[Γέτα, σ]ὺ δ' αὐτὸς ἐξελήλυθας;
τί βουλό]μενος; πότερα κελευσθε[ί]ς; <ο>ὕποτε

ὑπ᾽ ἐμοῦ γάρ,] ἢ τὸ τοιοῦτον ἀπὸ σαυτοῦ π[ο]ῶν;

ΓΕΤΑΣ

μὰ Δί᾽, οὐκ ἐ]κέλευον οἱ καθεύδ[ο]ντες.

ΘΡΑΣΩΝΙΔΗΣ

Γέτα,

παρῆσθας, ὡς] ἔοικε, κηδεμὼν ἐμός.

ΓΕΤΑΣ

εἴσελθε κἂν νῦν, ὦ μακάρι᾽· ἐν πα[ντ]ὶ γὰρ

ἦσθας μακ]άριος.

ΘΡΑΣΩΝΙΔΗΣ

τίς; [ἀ]τυχῶ δεινῶς, π[αθὼν

ἤδη κάκ᾽, ὦ Γέ]τα, <τὰ> μέγιστ᾽· ἀλλ᾽οὐδέπω

καιρὸς καθο]ρᾶν σ᾽· ἐχθὲς γὰρ εἰς τὴν οἰκ[ί]αν

ἐλήλυθας τὴν ἡμετέ[ρα]ν σὺ διὰ χρό[νο]υ.

ΓΕΤΑΣ

τὸ στρατό]πεδον γὰρ [ὡς] ἀπῆρα καταλιπὼν

ἦσθ᾽ εἰκό]τως εὔψυχος· [ὅτ]ι δὲ τάττομαι

ἐπὶ τῆς π]αραπομπῆς τ[ῶ]ν λαφύρων, ἔ[σχ]ατος

ἥκω. τί δὲ τὸ λ]υποῦν σ᾽;

ΘΡΑΣΩΝΙΔΗΣ

ἐλεὶν᾽ ὑβρίζομαι.

ΓΕΤΑΣ

ὑπὸ τίνος;]

ΘΡΑΣΩΝΙΔΗΣ

ὑπὸ τῆς αἰχμαλώτου· πριάμενος

αὐτήν, πε]ριθεὶς ἐλευθερίαν. τῆς οἰκίας

δέσποιν]αν ἀποδείξας, θεραπαίνας χρυσία

ἱμάτια δο]ύς, γυναῖκα νομίσας.

ΓΕΤΑΣ

εἶτα τί;

γυνή σ᾽ ὑβ]ρίζει;

ΘΡΑΣΩΝΙΔΗΣ

καὶ λέγειν αἰσχύνομαι·

ὄφιν, λέ]αιναν-

ΓΕΤΑΣ

ἀλλ᾽ ἔμοιγ᾽ ὅμως φράσον.

ΘΡΑΣΩΝΙΔΗΣ

μισεῖ νέον] με μῖσος.

ΓΕΤΑΣ

ὦ Μ[α]γνῆτι· σὲ
μισεῖν; ἄτοπ]α γὰρ ὑπονοεῖς.

ΘΡΑΣΩΝΙΔΗΣ

ἢ ᾽νθρώπινον
οἴει τὸ τυχό]ν τ᾽ εἶναι τόδ᾽;

ΓΕΤΑΣ

οὐδὲ κ[υ]ρία
]...[.].αν.[.].[   ].αι σφόδρ[α
..[    ].στειναιγα[
]πειρ...[
].[.]....[

ΘΡΑΣΩΝΙΔΗΣ

τηρῶ τὸν Δία
ὕοντα πολλῷ νυκτὸς [οὔσ]ης, ἀστραπάς,
βροντάς, ἔχων αὐτὴν δὲ κατάκειμ᾽.

ΓΕΤΑΣ

εἶτα τί;

ΘΡΑΣΩΝΙΔΗΣ

κέκραγα «παιδίσκη· βαδίσαι γάρ», φημί, «δεῖ
ἤδη με πρὸς τὸν δεῖν᾽», <ὑπ>είπας ὄνομά τι.
πᾶσ᾽ ἂν γυνὴ δὴ τ[ο]ῦ[τό γ᾽] εἴποι «τοῦ Διὸς
ὕοντος, ὦ τάλαν; [πρὸς ἄνθρ]ωπόν τινα;

**2) *Misoumenos* 607- 638**

ΔΗΜΕΑΣ

παῖ, παῖδε[ς]· ἐ[π]ανάξω· ψ[οφεῖ
αὐτῶν προϊών τις εἰς τὸ πρ[όσθ]ε[ν τὴν θύραν.

ΚΡΑΤΕΙΑ

οὐκ ἂν [δυ]ναίμην κ[α]ρτερ[εῖ]ν [

τ[ό]τ’ ἐ[...]νον. τί ταῦτ.[

ΔΗΜΕΑΣ

ὦ Ζεῦ, τίν’ ὄψιν οὐδὲ προσδ[οκωμένην

ὁρῶ;

ΚΡΑΤΕΙΑ

τί βούλει, τηθία; τί μοι λαλεῖς;

πατὴρ ἐμός; ποῦ;

ΔΗΜΕΑΣ

παιδίον, Κράτεια.

ΚΡΑΤΕΙΑ

[τίς

καλεῖ με; πάππα, χαῖρε πολλά, φίλτατ[ε.

ΔΗΜΕΑΣ

ἔ]χω σε, τέκνον.

ΚΡΑΤΕΙΑ

ὦ ποθούμενος φαν[είς,

ὁρῶ σ’, ὃν οὐκ ἂν ᾤόμην ἰδεῖν ἔτι.

ΓΕΤΑΣ

ἐξῆλθεν ἔξω. παῖ, τί τοῦθ’; αὕτη τί σ[οί,

ἄνθρωπε; τί ποεῖς οὗτος; οὐκ ἐγὼ ’λε[γον;

ἐπ’ αὐτοφώρῳ τόνδε τὸν ζητούμε[νον

ἔχω. γέρων οὗτός γε πολιὸς φαίνε[ται,

ἐτῶν τις ἑξήκονθ’, ὅμως δὲ κλαύ[σεται.

τίνα περιβάλλειν καὶ φιλεῖν οὗτος [δοκεῖς];

ΚΡΑΤΕΙΑ

ο]ὑμὸς πατήρ, Γέτα, π[ά]ρ[εστιν.]

ΓΕΤΑΣ

οὕτω γελοῖος; ου.....[

τίς εἶ· πόθεν θ’[ἥκεις;

ΔΗΜΕΑΣ

αὐτος πορε[υθεὶς

ταύτης.

ΓΕΤΑΣ

ἀληθῶς γ[άρ, Κράτειά, σοι πατὴρ
ὅδ’ ἐστὶν ὁ γέρων;

ΚΡΑΤΕΙΑ

λάμ[βαν’ αὐτὴν μάρτυρα.

ΓΕΤΑΣ

τί τοῦτο; καὶ σύ, γρᾴδ[ι]ο[ν,
καλεῖς; πόθεν, βέλτιστε, [....].[.]ολ[
οἴκοθεν;

ΔΗΜΕΑΣ

ἐ[βο]υλόμην ἄν.

ΓΕΤΑΣ

ἀλλ’[ἐτ]ύγχαν[ες
ἀπόδημος ὢν ἐκεῖθεν;

ΔΗΜΕΑΣ

ἐκ Κύπρου παρὼ[ν
ἐνταῦθα πρῶτον τῶν ἐμῶν ταύτην ὁρ[ῶ.
καὶ δῆλον ὡς ἔσπαρκε τῶν οἴκοι τινὰς
ὁ κοινὸς ἐχθρὸς πόλεμος ἄλλον ἀλλαχῇ.

ΓΕΤΑΣ

ἔχει γὰρ οὕτως· αἰχμάλωτος γενομένη
αὕτη πρ[ὸ]ς ἡμᾶς ἦλθε τοῦτον τ[ὸ]ν τ[ρ]όπον.
δ]ραμὼν δέ σοι τὸν δεσπότην ἤδη καλῶ.

**3) *Misoumenos* 660-670**

ΘΡΑΣΩΝΙΔΗΣ

πατὴρ Κρατείας, φῄς, ἐλήλ[υ]θ’ ἀρ[τίως;
νῦν ἢ μακάριον ἢ τρισαθλιώτατον
δείξεις με τῶν ζώντων ἁπάντων γεγονότα.
εἰ μὴ γὰρ οὗτος δοκιμάσει με, κυρίως
δώσει τε ταύτην, οἴχεται Θρασωνίδης·
ὃ μὴ γένοιτ’. ἀλλ’ εἰσίωμεν· [οὐ]κέτι

τὸ τοιοῦτον εἰκάζειν γάρ, εἰδέναι δὲ δεῖ
ἡμᾶς. ὀκνηρῶς καὶ τρέμων εἰσ[έρ]χομ[αι.
μαντεύεθ’ ἡ ψυχή τί μου, Γέτα, κακόν·
δέδοικα. βέλτιον δ’ ἀπαξάπ[αν γε τ]ῆς
οἰήσεώς πως· ταῦτα θαυμάσαιμι δ’ ἄν.

**4) *Misoumenos* 677- 725**

ΚΛΕΙΝΙΑΣ

τί φῄς; ἐπιγνοὺς τὴν σπάθην τὴν κειμέν[ην
ἔνδον παρ’ ἡμῖν ᾤχεθ’ ὡς τοὺς γείτονας,
τούτων ἀκούσας οὖσαν αὐτ[ήν]; πηνίκα
ἔθεντο δ’ οὗτοι δεῦρο τα[ύτ]ην ἢ τίνος
ἕνεκα πρὸς ἡμᾶς, γραῦ; [.].[.]ειστων....[
μόνης τι λήψεων .[
εὔδηλος εἶ. ψοφεῖν [δὲ προΐὼν φαίν[ε]ται
αὐτῶν τις· ὥστε πάντ’ ἀκούσομαι σαφῶ[ς.

ΓΕΤΑΣ

ὦ Ζεύ πολυτίμητ’, ὠμότητος ἐκτόπου
ἀμφοῖν ἀπανθρώπου τε, νὴ τὸν Ἥλιον.

ΚΛΕΙΝΙΑΣ

ξένος τις εἰσελήλυθ’ ἀρτίως, Γέτα,
ἔνθαδε πρὸς ὑμᾶς;

ΓΕΤΑΣ

Ἡράκλεις, αὐθαδίας
.[ ἀν]θ[ρ]ώπου λαβεῖν
γυναικ[ ]

ΚΛΕΙΝΙΑΣ

πῶς του]τὶ λάβω;

ΓΕΤΑΣ

φ.[

ΚΛΕΙΝΙΑΣ

] Δημέας
.[ ].[..]

ΓΕΤΑΣ

ἐκεῖ]νος οὐδὲ γρῦ

.].[. « ]σα [κ]αὶ γ[ά]ρ, Δημέα,

φιλῶ Κράτεια]ν αὐτός, [ὡς] ὁρᾶς, ἐγώ·

σὺ δ' εἶ πατ]ὴρ <καὶ> κύριος.» ταυτὶ λέγει

ἅ[παν]τα κλάων, ἀντιβολῶν· ὄνος λύρας.

ΚΛΕΙΝΙΑΣ

σ]υμπεριπατήσω καὐτός, ὡς ἐμοὶ δοκῶ.

ΓΕΤΑΣ

ἓν τοῦτο δ' εἴρει· «τὴν ἐμαυτοῦ σ' ἀξιῶ

ἥκων ἀπολυτροῦν ὢν πατήρ.» «ἐγὼ δέ γε

αἰτῶ γυναῖκά σ' ἐντετυχηκώς, Δημέα.»

ΚΛΕΙΝΙΑΣ

ἔνδ[ο]ν μέν ἐσθ' ἄνθρωπος εἰσεληλυθώς·

τοὔν[ομ]α λέγει γὰρ οὑτοσὶ τὸν Δημέαν.

ΓΕΤΑΣ

ὦ [Ἡρ]άκλεις, ἀνθρωπίνως ἂν οὐ λάβοι

τὸ συμβεβηκός; ὗς ὄρει, τὸ τοῦ λόγου.

ἀλλ' οὐχὶ τοῦτο δεινόν, ἀλλ' αὕτη πάλιν

ἀφ[ο]ρᾷ λέγοντος· «ἀντιβολῶ, Κράτειά, σε,

μή μ' ἐ[γκ]αταλίπῃς· παρθένον σ' εἴ[λ]ηφ' ἐγ[ώ,

ἀνὴρ ἐκλήθην πρῶτος, ἠγάπησά σε,

ἀγ]απῶ, φιλῶ, Κράτεια φιλτάτη· τί σοι

λυπηρόν ἐστι τῶν παρ' ἐμοί; τεθνηκότα

πεύσει μ', ἐάν μ' ἐγκαταλίπῃς.» οὐδ' ἀπόκρισις.

ΚΛΕΙΝΙΑΣ

τί πότ' ἐστι τὸ κακόν;

ΓΕΤΑΣ

βάρβαρος, λ[έ]αινά τις

ἄν[θρωπος].

ΚΛΕΙΝΙΑΣ

οὐχ ὁρᾷς με, κακόδαιμον, πάλαι;

ΓΕΤΑΣ

ἀπροσδόκητον.

ΚΛΕΙΝΙΑΣ

οὐχ ὑγιαίνει παντελῶς.

ΓΕΤΑΣ

ἐγὼ μὲν [αὐτήν], μὰ τὸν Ἀπόλλω τουτονί,
οὐκ ἂν ἀπ[έ]λυσ’. Ἑλληνικὸν καὶ πανταχ[οῦ]
γινόμ[ε]νον ἴσμεν. ἀλλ’ ἐλεεῖν ὀρθῶς ἔχει
τὸν ἀ[ν]τελεοῦνθ’. ὅταν δὲ μηδ’ ὑμεῖ[ς ἐ]μέ,
οὐδὲ λόγον ὑμῶν οὐδ’ ἐπιστροφὴν ἔχω.
οὐ[κ ἔστι] σοι; τί δ’; οὐθὲν ἄτοπον, ὡς ἐγὼ
δο[κῶ]. βοήσεται δὲ καὶ βουλεύσεται
κ[τα]νεῖν ἑαυτόν. στὰς βλέπει δὲ πῦρ ἅμα
ου[..].. ἐκεῖ καὶ δράττεταί <γε> τῶν τριχῶν.

ΚΛΕΙΝΙΑΣ

ἄν[θρωπε], κατακόψεις με.

ΓΕΤΑΣ

κ[α]ῖρε, Κλεινία.
π[όθεν πάρ]εσθ’;

**5) *Misoumenos* 790- 810**

ΘΡΑΣΩΝΙΔΗΣ

ὀργῇ σ’, ἐλεεινός. Σιμίχη ’ξελήλυ[θ]εν.
τ]ί φῄς; πέπονθ’ ἅπα[ν]θ’; ὑπὲρ ταύτης λαλε[ῖς;
μέ[λ]ει τ’ ἐμοὶ ταύτης δι’ ἐμαυτόν; μὴ λέγε.
ἐμόν τ’ ἀτύχημα τοῦτ’; ἐκεῖ[νον μὴ] ψέγω;
οὔκουν ἕν ἐστι τοῦτό σοι, τὸ κωλύε[ι]ν
ταύτην ἀπολαβεῖν τοῦτο[ν; <ἀλλὰ> παντ]αχοῦ
οὕτως ἔχει. τὰ πρόσθε γενό[μεν’ ἀ]νατ[ρέπει
τὸ ζῆν. ἀφήσεις; ἀλλ’ ἐρεῖ «θέλξ[εις] ἅ[π]αν
οἴκτῳ τὸ μισοῦν ὡς σεαυτόν; ἀσχα[λᾷς.»
καὶ τίς ὁ βίος σοι; ποῦ τὸ τῆ[ς] σ[ω]τηρίας
ἐπίσημον; εἴ τις ὁμ[ό]σε ταῖ[ς ὀ]ργαῖς τρέχοι-
πλεονεξία τοῦτ’, εἴπερ; ἁρπάσαι βλέπων

ἴσως ἰταμὸς εἶ. τῷ λογισμῷ νῦν γενοῦ
εὔψυχος. ἀ[π]όρως ζῆθ᾽, ὀδυνηρῶς, ἀσθενῶ[ς.
ὄν[ε]ιδος αὐτῇ τοῦτο καταλιπεῖν σε δεῖ
ἀθάνατον. εὖ παθοῦσ᾽ ἐτιμωρήσατο
τὸν τἀγάθ᾽ αὐτῇ δόντα. πῶς [οὐ]κ ἔ[σ]τι μοι
]．ειν με προσποου[μεν
π]έμψαι τοῦτον εἰς
] εν．δ[..]ησθαι[.]εσ[
] γὰρ [..ἐσ]τιν οὕτω[




**Plate 26** Mosaic from Mytilene: *Misoumenos*, Act V. Courtesy of Konstantinos Kontos.